www.tezaurliturgic.ro

# <ΑΚΟΛΟΥΘΙΑ<br>ΤΟΥ ΑΓΙΟΥ ΦΙΛΟΘΕΟΥ<br>ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ<br>ΤΟΥ ΘΕΟΛΟΓΟΥ>

**(Ἐκ τοῦ «Βίος καὶ Ἀκολουθία τοῦ Ἁγίου Φιλοθέου (Κόκκινου) Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Θεολόγου», Δρ. Βασιλείου Δεντάκη, ἐν Ἀθῆναις 1971)**

**Κείμενον**
**Codex Ἁγίου Παύλου 26, σσ. 295-316.**

**Μηνὶ Ὀκτωβρίῳ δεκάτῃ πρώτῃ**
**<καὶ ε′ Κυριακῇ τῶν Νηστειῶν[1]>**

## ΕΣΠΕΡΑΣ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν Στιχ. δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων·

Τῶν φιλοθέων τὰ στίφη, δεῦτε συνδράμωμεν, Μονῇ τοῦ Φιλοθέου, καὶ τὴν πάμφωτον μνήμην, τοῦ θείου ἱεράρχου χαρμωνικῶς, Φιλοθέου κροτήσωμεν, ἐν χαρμοσύνοις τοῖς ᾄσμασιν εὐλαβῶς, εὐφημοῦντες ὡς προστάτην ἡμῶν.

Ἀγγελικῶς διανύσας τὸν βίον ὅσιε, παρὰ Θεοῦ ἀπέχεις τῶν σῶν πόνων τὰ ἆθλα, Φιλόθεε τρισμάκαρ πάντας πρὸς σήν, μίμησιν ἐκκαλῶν σοφέ· ὅθεν ναμάτων ἐκεῖθεν ἐμφορηθείς, καὶ ἡμῖν μετάδος ἅγιε.

Τῆς Φιλοθέου τραπέζης, ξένως μετάσχωμεν, κεῖτε αὐτοῦ γὰρ νέκταρ, συμπλοκῇ ἀρωμάτων, μελῶν παναρμονία, χύδην τε φῶς, ἐκπιόντες[2] ὀσφρώμεθα, ἀκουτισθῶμεν κατίδωμεν καὶ αὐτοῦ, τὴν εἰκόνα προσκυνήσωμεν.

---

[1] Κυρίως ἡ μνήμη αὐτοῦ τελεῖται τῇ Ε′ Κυριακῇ τῶν Νηστειῶν, ἡ δὲ τῆς ὁσίας Μαρίας, ψάλλεται ἐν τοῖς ἀποδείπνοις. Μόνη δὲ ἡ ἀναστάσιμος ἀκο<λουθία ψάλλεται> ἐν τῇ Β′ Κυριακῇ Γρηγορίου τοῦ Παλαμᾶ. (Ἡ σημείωσις αὕτη ὑπάρχει μετὰ τὸ τέλος τοῦ Μικροῦ ἑσπερινοῦ εἰς τὸ f. 162v, ἀλλ′ ἐτέθηἐνταῦθα, διότι αὕτη εἶναι ἡ φυσικὴ αὐτῆς θέσις.

[2] Cod. ἐκπιῶντες

Ἀνακαθάρας τὸ ὄμμα τῆς διανοίας σου, σοφίαν ἐξηρεύξω[1], τὴν ἀμείνω τρισμάκαρ, καὶ ᾔσχυνας τερθρείας τοῦ Βαρλαάμ, Ἀκινδύνου τε ἄννοιαν, καὶ τὸ τρισήλιον φάος τῆς τριλαμποῦς, θεαρχίας ἐῤῥητόρευσας.

Δόξα. Ἦχος πλ. α΄.

Στύλος φωτοφανὴς πᾶσιν ἐπέφανας, ἁπάσῃ γὰρ ἀρετῇ κοσμούμενος, σοφίᾳ τε καὶ γνώσει καλλυνόμενος, καὶ τῇ πραότητι ἐμπρέπων, καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἐγκοσμούμενος, τῷ οἰκουμενικῷ θρόνῳ ἐξήστραψας, ἡλίου δίκην Φιλόθεε, καθοδηγῶν τὴν ποίμνην σου, πρὸς ἀνέσπερον κατάπαυσιν· ἀλλὰ καὶ ἡμᾶς, τοὺς ἐκ πόθου τελοῦντάς σου τὸ ἱερὸν μνημόσυνον, δυσώπησον ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Μακαρίζομέν σε Θεοτόκε παρθένε.

Εἰς τὸν στίχον. Ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἄνωθεν ὑφαντόν, χιτῶνα ἐνεδύσω[2], θεόφρον ἀφθαρσίας[3], καὶ θεολόγος ὤφθης, τοῦ Πνεύματος Φιλόθεε.

Στίχος. Τὸ στόμα μου λαλήσει σοφίαν.

Ἤστραψεν ὁ λαμπρός, καὶ πάνσεπτός σου βίος, ὡς ἀστραπὴ καὶ πάντας, κατηύγασε τοὺς πόθῳ, Φιλόθεε ὑμνοῦντας σε.

Στίχος. Οἱ ἱερεῖς <σου> Κύριε.

Κῆρυξ τοῦ παντουργοῦ, Πνεύματος ἀνεδείχθης, Τριάδος μυστιπόλος, ὄργανον τῆς σοφίας, καὶ σάλπιγξ τῆς θεώσεως.

Δόξα. Ὅμοιον.

Δόξα σοι ὦ Τριάς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ὅτι εἰς πάντα κόσμον, Φιλόθεον τὸν μέγαν σῇ χάριτι ἐδόξασας.

---

[1] Cod. ἐξηρεύξω σοφίαν.

[2] Cod. ἐνεδύσω χιτῶνα.

[3] Cod. ἀφθαρσίας θεόφρον.

Καὶ νῦν.

Θεοτοκίον. Ὅμοιον.

Ὢ πρᾶγμα τὸ γλυκύ, καὶ ὄνομα Μαρία, πρέσβευε τῷ Υἱῷ σου, μετὰ τοῦ Φιλοθέου, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Ἀπολυτίκιον. Ἤχος δ'.

Ταχὺ προκατάλαβε.

Τὴν θείαν σου σήμερον καὶ φωταυγῆ ἑορτήν, τελοῦμεν Φιλόθεε, Ἱεροφάντα σοφέ, αἰτοῦντες πρεσβείαις σου, λύτρωσιν[1] τῶν πταισμάτων, καὶ παθῶν καὶ κινδύνων, πάντοτε πολυτρόπων, δυσχερῶν τῶν ἐν βίῳ, προστάτην γάρ σε μάκαρ, πλουτοῦμεν οἱ δοῦλοί σου.

Ἕτερον. Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Τὸν Φιλόθεον ὕμνοις ἀνευφημήσωμεν, οἱ Μονῆς Φιλοθέου πάντες οἰκήτορες, ἀνυμνοῦντες ἐν ᾠδαῖς καὶ ὕμνοις σήμερον, ὡς πολιοῦχον καὶ σοφόν, ποιμένα καὶ καθηγητήν, κοσμήτορά τε τῆς ποίμνης, πρεσβεύοντα τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος.

Καὶ γίνεται Ἀπόλυσις.

---

[1] Cod. λύτρωσον.

www.tezaurliturgic.ro

## <ΜΗΝΙ ΟΚΤΩΒΡΙΩ ΔΕΚΑΤΗ ΠΡΩΤΗ ΚΑΙ>

## ΤΗ Ε′[1] ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

<Μετὰ τὸν Προοιμιακόν>. Τὸ Μακάριος ἀνήρ.

Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι´ καὶ ψάλλομεν προσόμοια στιχηρὰ Ἀναστάσιμα γ′ τοῦ τυχόντος ἤχου[2], <τῆς Μαρίας τῆς Αἰγυπτίας>[3] γ′ καὶ τοῦ Ἁγίου δ´.

Ἦχος β´.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν·

Δεῦτε τῶν μιγάδων ἡ πληθύς, καὶ τῶν μοναστῶν αἱ χορεῖαι, συνεορτάσωμεν, τὴν λαμπρὰν πανήγυριν τοῦ Ἱεράρχου Χριστοῦ, Φιλοθέου ἐν ᾄσμασι, κροτοῦντες τοῖς ὕμνοις, τούτου τὰ παλαίσματα καὶ κατορθώματα, οἷς περ ἡ Τριὰς ἡ ἁγία, τοῦτον καὶ ἐν γῇ καὶ ἐν πόλῳ, ὡς Αὐτὴν δοξάσαντα ἐδόξασεν.

Ὅτε κατετρώθης τῷ γλυκεῖ, πόθῳ τῆς ἀσκήσεως πάτερ, σοφὲ Φιλόθεε, τότε ὥσπερ ἔλαφος διψῶσα ἔδραμες, εἰς τὸ Ὄρος τὸ Ἅγιον, καὶ περινοστήσας, τὰ σεμνεῖα ἅπαντα ὡς νουνεχέστατος, ὧδε κατοικεῖν ᾑρετήσω, τῇ σεπτῇ μονὴ Φιλοθέου, ὡς περιδεξίᾳ πρὸς τὴν ἄσκησιν.

Ὅτε κατελάμφθης τῷ φωτί, τῆς ὑπερουσίου Τριάδος, ἐν προσευχῇ ἑστηκώς, τότε στύλος γέγονας φωτοειδέστατος, μονοτρόπων συστήματα, ἅπαντα τοῦ Ὄρους, ὁδηγῶν λαμπρότησι, τῶν θείων λόγων σου, γῆν πρὸς ἀπαθείας θεόφρον, καὶ πρὸς τελειότητα ἄκραν, θείας θεωρίας τε καὶ πράξεως.

Ὅτε ἐπινεύσει θεϊκῇ, εἰς τὸν οἰκουμένης προέβης, θρόνον Φιλόθεε, τότε ὥσπερ ἥλιος πάντας ἐφώτισας, τοὺς πιστοὺς θείοις λόγοις σου, καὶ ὡς ποιμὴν μέγας, πρὸς νομὴν σωτήριον λαοὺς ἐποίμανας, καὶ ὡς κυβερνήτης ἐχέφρων, σκάφος τῆς Χριστοῦ Ἐκκλησίας, ἐν γαλήνῃ θείᾳ συνετήρησας.

---

[1] Σημειωτέον ὅτι ὁ κῶδιξ περαιτέρω ἔχει «τῇ δ′ Κυριακῇ τῶν Νηστειῶν». Τὴν Πέμπτην ὅμως Κυριακὴν ἀναφέρει καὶ ὁ βίος. Ἀλλ′ ὡς ἀναπτύσσομεν ἐν τοῖς Προλεγομένοις, προκρίνομεν τὴν Πέμπτην, δεδομένου μάλιστα, ὅτι ἡ παρατεθεῖσα ἀνωτέρω σημείωσις ταύτην ἀναφέρει. Οἴκοθεν νοεῖται ὅτι ὁσάκις ἡ ἀκολουθία ψάλλεται τῇ ε′ Κυριακῇ τῶν Νηστειπων συμψάλλονται κατὰ τὴν τάξιν τὰ σχετικὰ ἀναστάσιμα καὶ τὰ τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας τροπάρια.

[2] Cod. Ἦχος β′.

[3] Cod. τοῦ Ἰωάννου Κλίμακος.

Ἕτερα. Ἦχος ὁ αὐτός.
Ποίοις εὐφημιῶν στέμμασιν·

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην, τὸ τερπνὸν τοῦ Πνεύματος ὄργανον, τὸν καταβαλόντα τὰ βλάσφημα, ἔπη Βαρλαάμ καὶ Ἀκινδύνου· τὸν στύλον. Ὀρθοδοξίας τὸν ἀσάλευτον, τὸ κλέος, τῶν εὐσεβῶν καὶ περιτείχισμα, τὸν φαεινὸν ἑωσφόρον, τὸν δι'οὗ τὸ σκότος, ἐσκεδάσθη τῶν Δυτικῶν, καὶ κόσ<μος> πεφώτισται, τοῖς αὐτοῦ σοφοῖς συγγράμασι.

Ποίοις εὐφραντικοῖς ᾄσμασι, ἐνηχήσωμεν τῷ Φιλοθέῳ, τῷ ἀσκητικῶς διαπρέψαντι, καὶ τὴν Ἐκκλησίαν προστατεύσαντι, τὸ μυρεψικὸν τοῦ Πνεύματος δοχεῖον· τὸν οἶκον, ὃν ἡ Σοφία κατεσκεύασε, τὸν στύλον, όν ὑπέρ τοῦ Ἄθω ὑπήρεισε, βάσιν τὸν μέν, τὸν δὲ σκέπην, τοῖς χαρίσμασι τοῖς αὐτοῦ, Χριστὸς ὁ Θεοῦ Υἱός, καὶ Υἱὸς τῆς θεόπαιδος.

Ποίοις προφητικοῖς ᾄσμασιν, καταστέψωμεν τὸν θεοφόρον, τὸν σοφὸν καὶ θεῖον Φιλόθεον, τὸν τὴν Ἐκκλησίαν κοσμήσαντα, συγγραμάτων λίθοις διαυγέσι, τὸ σκεῦος, τῶν ἀρετῶν τὸ τιμαλφέστατον, τὸ κλέος, τῶν ἐν τῷ Ἄθῳ τὸ περίδοξον· τούτῳ γὰρ δέδωκε δόσιν, φυγαδεύειν τοὺς δυσσεβεῖς, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ἔπεσιν, εὐφημήσωμέν σε θεοφάντορ, τὸν τῆς ἐπωνύμου μάνδρας σου δομήτορα, καὶ ἡμῶν προστάτην σε καὶ φύλακα· τὸ ἀειθαλλὲς θάλλος τοῦ Ἄθω· ἀλείπτην, ἐν καρτερίᾳ τὸν σοφώτατον· διώκτην, αἱρετιζόντων τὸν σφοδρότατον· ἄγγελον ὄντα ἐπίγειον, βροτὸν οὐράνιον, όν ἐδόξασεν ἡ Τριάς, τῆς δόξης ὁ Κύριος, ὡς καλῶς ἀγωνισάμενον.

Δόξα. Ἦχος πλ. β΄.

Ἰδοὺ νῦν ἐξέλαμψεν, ἡ ὁλόφωτος πανήγυρις τοῦ Ἱεράρχου, ὡς φωστῆρα νοητὸν τοῦτον προβαλλομένη, τὰς διανοίας τῶν πιστῶν καταυγάζοντα, καὶ τὰ νέφη τῶν παθῶν ἐκδιώκοντα, ὃν ψαλμικῶς ἐπαινοῦντες βοήσωμεν λέγοντες. Μακάριος εἶ καὶ καλῶς σοι ἔσται, τὴν Ἐκκλησίαν ὡς ἄμπελλον εὐθυνοῦσαν, τῷ Δεσπότῃ σου παραστησάμενος, καὶ τοὺς τροφίμους τῆς πίστεως, ὡς νεόφυτα ἐλαιῶν, κύκλῳ τῆς μυστικῆς τραπέζης ἐπαύξων, τῇ νοουμένῃ τροφῇ τῆς διδασκαλίας σου· διόπερ κατήντησας εἰς μάνδραν οὐράνιον, ἔνθα ὁ πρῶτος Ποιμήν, καὶ μέγας Ἀρχιερεύς, ἀκαταπαύστως Αὐτῷ τὴν ὑμνῳδίαν ἀναπέμπων, καὶ εἰρήνην δεινῶν ἀπαλλαγήν, τῇ σῇ ποίμνῃ Φιλόθεε βραβεύων, τοῖς ἐκ πόθου τελοῦσι τὸ ἱερόν σου μνημόσυνον.

Καὶ νῦν. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. <Φῶς ἱλαρόν.Τὸ> προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

www.tezaurliturgic.ro

## Παροιμιῶν τὸ Ἀνάγνωσμα
(Κέφ. 10, 7)

Μνήμη δικαίου μέτ' ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κορυφὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς, τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλαιον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμᾶς ὁδούς φυλάξει· αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου· διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοὶς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν· νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν· εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὁς τὰς ἐμὰς ὁδοὺς πορεύεται· ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα εὐθέα ἐπὶ τοὶς νοοῦσι, καὶ ὀρθὰ τοὶς εὑρίσκουσι γνῶσιν· διδάσκω γάρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ὁ μισθὸς ὑμῶν, καὶ πλησθήσεσθε χάριτος.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα[1]
(Κέφ. 10, 31)

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ· οὗ ἐὰν ἐξέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία, στόμα δὲ σοφῶν μελετᾷ σοφίαν· τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς· οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου· ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀνδρῶν ἀμώμων ῥύεται αὐτούς, τὴ δὲ ἀσεβείᾳ ἑαυτῶν ἁλίσκονται παράνομοι· τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται· δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής· ἐν στόματι παρανόμων παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος· ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα· ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται· μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος, ἡσυχίαν ἄγει.

[1] Cod. Σοφίας Σολομῶντος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κέφ. 4, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. <Ἰδιόμελα>

Ἦχος α΄.

Οὐρανίαν ὡς ἀληθῶς, ἔδει παρεῖναι γλῶσσαν, τοῖς ἐγκωμιάζειν βουλομένοις, Φιλόθεον τὸν οὐράνιον ἄνθρωπον· οὗτος γὰρ διὰ τῆς ἐν Πνεύματι θεωρίας, ἀμέσως θεωθείς, τῷ κατὰ φύσιν Ἁγίῳ, ἅγιος κατὰ μέθεξιν γέγονε, τῷ πρώτῳ Φωτί, φῶς δεύτερον χρηματίσας, καὶ τῷ κατ' οὐσίαν Θεῷ, θεὸς κατὰ χάριν γεγένηται· ποιμάνας θεαρέστως τὸ λογικὸν τῆς οἰκουμένης ποίμνιον, καὶ τὰς τερθρείας τοῦ Βαρλαάμ, καὶ Πολυκινδύνου στηλιτεύσας, Ὀρθοδοξίας στύλη δείκνυται· ὅθεν ἀγγελοπρεπῶς, φωτολαμπεῖς καὶ θεοειδεῖς, ἀποδοτέον αὐτῷ καὶ τοὺς ὕμνους, ἵνα πρεσβεύῃ ἐκτενῶς τῷ Κυρίῳ, ἁγιασθῆναι, φωτισθῆναι, καὶ θεωθῆναι τὰς ψυχὰς ἡμῶν.

<Ἦχος> ὁ αὐτός.

Εὐφραίνου ἐν Κυρίῳ, ὁ ἁγιώνυμος Ἄθως, τὸ ἐνδιαίτημα τῶν ὁσίων, καὶ σὺ μονὴ Φιλοθέου ἀγάλλου μυστικῶς καὶ σκίρτα, ἐπὶ τῇ μνήμῃ σήμερον, τοῦ πολιούχου σου θεοφόρου Πατρὸς ἡμῶν, Φιλοθέου τοῦ τρισμάκαρος· οὗτος γὰρ ὁ τρισόλβιος, ὡς φυτὸν ἀμάραντον καὶ ἀείζωον, ἐξανθήσας ἐν ταῖς ἀκρωρείαις σου, ἐπλήρωσεν εὐωδίας πνευματικῆς τὴν ὑφ' ἥλιον, ἐξανατείλας τὴν τοῦ Πνεύματος παγκαρπίαν. Διὸ καὶ ἡμεῖς τὰ τέκνα αὐτοῦ, συναχθέντες ἐπὶ τὸ αὐτό, πνευματικοῖς ᾄσμασι τερπνῶς ἀναβοήσωμεν· ταῖς εὐπροσδέκτοις τούτου πρεβείαις Κύριε, καὶ πάντων τῶν ἐνταῦθα διαλαμψάντων, φώτισον τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Τρυφὴν νῦν τὴν ἀκήρατον, καὶ τὴν αἰώνιον ἀπόλαυσιν, ἀποκομίζῃ, τὰς ἐπικαρπίας τῶν πόνων σου τῶν πολλῶν, καὶ ὧν ἐθησαύρισας ἀρετῶν, ὁ μισθαποδότης Θεός, πλουσίως παρέσχε σοι· διὸ ὕμνον σοι, ἀπὸ πηλίνων

χειλέων προσφερόμενον πρόσδεξαι, μετ’ εὐμενείας, ὦ θεία καὶ ἱερὰ κεφαλή· σὺ γὰρ εὐμενὴς τε καὶ πρᾶος, Θεὸν φιλήσας Φιλόθεε θεόσοφε, δείκνυσαι, πρὸς μόνους τοὺς δυσσεβεῖς κακοδόξους, τὸν ἔνδικόν σου θυμὸν τρέψας· ἀλλ’ ὡς ἔχων παῤῥησίαν ποιμὴν θεοπρόβλητε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Τῇ φερωνύμῳ σου κλήσει, τὴν πράξιν κατάλληλον ἔδειξας ὡς ἀληθῶς, Θεὸν γὰρ ὁλοψύχως φιλήσας, καὶ τὸν πέλας ἀποχρώντως ἠγάπησας, καὶ τὴν ψυχὴν σου ὑπὲρ τῆς ποίμνης ἔθυσας, θεοφιλέστατε Φιλόθεε· προσευχῇ δε ἀρεμβάστῳ, τὸν νοῦν καλῶς Πάτερ καθηράμενος, γέγονας οἰκητήριον τοῦ ἁγίου Πνεύματος· ὅθεν καὶ πρὸς οὐρανοὺς μεταστάς, μυστικῶς εὐωδιάζεις ἡμᾶς, ταῖς ὑποθήκαις τῶν θεοπνεύστων συγγραμάτων σου· ὧν κατατρυφῶντες ὁσημέραι, τὰς θεοστυγεῖς αἱρέσεις ἐκκλίνομεν, αἰτούμενοι διὰ σοῦ, τὸν ἱλασμὸν παρὰ Θεοῦ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Κροτήσωμεν σήμερον ἱεραῖς μελῳδίαις, τὴν μνήμην τοῦ θεολόγου, τῷ ὄντι Φιλοθέου πατρὸς ἡμῶν, ὦ φιλέορτοι· οὗτος γὰρ αἰσθητοῦ παντὸς ἀπαναστάς, εἰς ἑαυτὸν νοερῶς συνανεστράφη, καὶ πλουτήσας τὴν χάριν δαψιλῶς τοῦ Παναγίου Πνεύματος, ἐλλαμφθεὶς τὸν νοῦν, τῇ τῶν παθῶν καθάρσει, θεοπνεύστους διδασκαλίας συνέθετο, τὴν κυριότητα τοῦ πνεύματος σαφηνίσας, Πολυκινδύνου τε τὸ ἄθεον στηλιτεύσας· τῇ γλώττῃ ὡς καλάμῳ χρησάμενος, καὶ παρακαταθήκην τοὺς λόγους τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καταλιπών, ἀΐδιον τὴν μνήμην ἐκτήσατο· ὧν ἤδη τῆς ἀναγνώσεως ἀπολαύοντες, δεόμεθά σου Πάτερ, πρεσβεύειν ἐκτενῶς τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. α΄.

Τὸν ἄδυτον γνόφον τῆς ἐν Πνεύματι θεωρίας εἰσελθών, Φιλόθεε Παγκόσμιε Πάτερ, τὸν δι’ ὑπερβολὴν φωτοχυσίας, ὄντα ἀπρόσιτον, καὶ τῇ οὐσίᾳ ἀμέθεκτον, αὐτὸ τὸ θεῖον ἰδεῖν καὶ γνῶναι κατηξιώθης, τὸν ἐν αὐτῷ ὄντα, τὸν πάντων ὑπερουσίως δι’ ἀφαιρέσεως, καὶ ἀποφατικῆς θεολογίας ἐθεολόγησας, πάντων ἐξιστάμενος τῶν ὄντων, αἰσθητῶν καὶ νοητῶν, καῖ ἐν μόνῳ τῷ τρισυποστάτῳ Θεῷ, ὢν καὶ μένων· ὀν καθικέτευε Ἱεροφάντα θεσπέσιε, φωτίσαι καὶ σῶσαι πάντας, τοὺς τὴν πάμφωτον καὶ πανσέβαστον μνήμην σου γεραίροντας, Πατριαρχῶν ἐγκαλλώπισμα, Φιλόθεε ἀοίδιμε.

Καὶ νῦν.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε...

Εἰς τὸν Στίχον. Προσόμοια.

Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χαίροις, ὁ ἱερώτατος νοῦς, τῆς ὑψηλῆς θεολογίας τοῦ Πνεύματος, χαρίτων θείων ὁ οἶκος, τῶν ἀρετῶν θησαυρός, γλῶσσα Ἐκκλησίας ἡ ἡδύλαλος, ἀγάπης ἐντρύφημα, τῆς πραότητος σκήνωμα, τῆς θεωρίας, καὶ τῆς πράξεως τέμενος, ταπεινώσεως, τὸ τερπνὸν καταγώγιον, λύχνε τῆς διακρίσεως, ἀστὴρ διοράσεως, καὶ προοράσεως μέγας, ἥλιος λάμπων τὰ πέρατα· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχος. Τὸ στόμα μου λαλήσει σοφίαν.

Χαίροις ὁ κληρονόμος φανείς, πατριαρχῶν τῶν θαυμασίων τῶν πρόπαλαι, τῶν μέγα διαπρεψάντων, ἐπὶ πολλαῖς ἀρεταῖς, καὶ διαλαμψάντων ἐπὶ θαύμασιν· οἳ πόνους διήνεγκαν, καὶ κινδύνους ὑπέμειναν, τὴν Ἐκκλησίαν, ὀρθοδόξως κρατύνοντες, ταῖς αἱρέσεσι, μὴ ἐῶντες σαλεύεσθαι· οἷς περ σὺ ἠκολούθησας, καὶ θλίψεις ὑπήνεγκας, Πάτερ μυρίας καὶ πόνους, προκινδυνεύων τῆς πίστεως· μεθ' ὧν νῦν δυσώπει, τοῖς ὑμνοῦσί σε δοθῆναι τὸ μέγα ἔλεος.

Στίχος. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, τῆς Κωνσταντίνου φαεινότατος πρόεδρος, ἡ στήλη θεοσοφίας, διδασκαλίας πηγή, νεκταρῶδες νάμα ἡ προχέουσα· Ποιμὴν θεοπρόβλητε, μυστιπόλε θεσπέσιε, βάθος ὁ φθάσας, καὶ τὸ ὕψος τὸ ἄψαυστον, τῆς θεότητος, ψηλαφήσας τοῖς λόγοις σου· ἄγαλμα τὸ τῆς χάριτος, εἰκὼν Χριστοῦ ἔμψυχε, φωτὸς ἀπαύγασμα πρώτου, γόνου βροντῆς ὁ ἀπόγονος· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Δεῦτε ἅπαντα τὰ πλήθη τῶν πιστῶν, ἐπὶ τῇ μνήμῃ τοῦ σοφοῦ Ἱεράρχου, θεολόγου πατρὸς ἡμῶν Φιλοθέου συνελθόντα, ἐγκωμίων ἐπαίνοις αὐτὸν στεφανώσωμεν λέγοντες· χαίροις ὁ τὸν ἀθεώρητον βυθὸν τῆς οὐρανίου γνώσεως κατοπτεύσας, καὶ τῷ ἀνωτάτῳ πυρὶ ἐλλαμφθείς, καὶ λαμπρυνθεὶς τῇ αἴγλῃ τοῦ Πνεύματος, τὸν νοῦν ἱερώτατε, καὶ τῶν βλασφήμων θεοστυγῶν φληναφίας, συστομήσας σοφώτατα, ζήλῳ θείῳ τοῦ Πνεύματος· χαίροις πατριαρχῶν τὸ ἔρεισμα, μοναστῶν τοῦ Ἄθω τὸ καύχημα, ἀσκητῶν ἀγλάϊσμα, καὶ τῆς ἐπωνύμου σου ταύτης μονῆς, φιλόθεον σεμνολόγημα, ἡμῶν δε τῶν φοιτητῶν σου ἥδυσμα καὶ ἐντρύφημα, καὶ ἀῤῥαγὲς τῆς ποίμνης σου περιτείχισμα. Φιλόθεε πατὴρ ἡμῶν, ὅσιε, πρεσβεύων μὴ ἐλλείπῃς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, ἐκτελούντων τὴν σεβάσμιον, καὶ παγγέραστον μνήμην σου.

Καὶ νῦν.

Θεοτοκίον

Ἀνύμφευτε Παρθένε.

Ἀπολυτίκιον Ἦχος α΄.
Τοῦ λίθου σφραγισθέντος.

Θετταλίας τὸν γόνον, καὶ τοῦ Ἄθω ἀγλάϊσμα, Βυζαντίου ποιμένα, οἰκουμένης ἀγλάϊσμα., Φιλόθεον πάντες τὸν σοφόν, τιμήσωμεν ὕμνοις καὶ ᾠδαῖς, τῆς μονῆς ἡμῶν προστάτην καὶ φρουρόν, κραυγάζοντες ὁμοφώνως· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐν κινδύνοις <σὲ> ἡμῶν προστάτιν δείξαντι.

Δόξα. <Ἕτερον.> Ἦχος γ΄.
<Θείας πίστεως.>

Μέγας πρόμαχος πιστῶν ἐδείχθης, τοῖς τιμῶσί σου τὴν θείαν μνήμην, Πατριαρχῶν τὸ περίδοξον καύχημα, ἱεροφάντορ τρισμάκαρ Φιλόθεε, ὡς Βαρλαὰμ οὖν τὴν πλάνην κατήσχυνας, καὶ Ἀκινδύνου τερθρείας ἐξήλεγξας, οὕτω πάνσοφε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. <Θεοτοκίον.>

Θεοτόκε Παρθένε.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν πρώτην Στιχολογίαν. Κάθισμα.

Ἦχος γ'. Θείας πίστεως.

Ἔργοις ἔλαμψας τῆς εὐσεβείας, πᾶσαν ηὔγασας τὴν Ἐκκλησίαν, ὑψοποιῷ ταπεινώσει κοσμούμενος, τῆς ἱερᾶς ἡμῶν μονῆς σεμνολόγημα, πατριαρχῶν τε καλλονὴ καὶ ὡραΐσμα, Φιλόθεε θείων χαρίτων ἔμπλησον, τοὺς πίστει σε, καὶ πόθῳ μεγαλύνοντας. (Δὶς.)

Καὶ Θεοτοκίον. Τὴν ὡραιότητα.

Μετὰ[1] τὴν δευτέραν <στιχολογίαν. Κάθισμα.>

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἡ μνήμη σου σοφέ, εὐκλεῶς τελουμένη, Φιλόθεε λαμπρέ, παρ' ἡμῶν τῶν σῶν τέκνων, τὸν νοῦν ἡμῶν κατηύγασε, καὶ καρδίαν πρὸς πλείονα, πόθον ἤγειρε, τῶν θεοπνεύστων σου λόγων, καὶ ἐθέρμανε, πρὸς τὴν τοῦ Πνεύματος χάριν· ἣν πᾶσιν ἐκήρυξας. (Δὶς.)

Καὶ Θεοτοκίον. Μητέρα σε Θεοῦ.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

<Ἦχος πλ. δ΄.>

Τὴν σοφίαν καὶ λόγον.

Ἀρετῶν τὸν λειμῶνα περιελθών, καὶ Γραφῶν τῶν τοῦ Πνεύματος εὐφυῶς, τὰ ἄνθη τὰ κάλλιστα, ἀπὸ τούτων συνέλεξας, δίκην μελίσσης πάτερ, σοφῆς φιλοπόνου τε, καὶ ὡς κηρίον πρᾶξιν, ἐκτήσω ἐχέφρονα, ὡς δὲ νεκταρῶδες, καὶ γλυκύτατον μέλι, παμμάκαρ ἐπλούτισας, θεωρίαν τὴν ἔμπρακτον, θεοπτίας τὴν πρόξενον· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. (Δὶς.)

Δόξα. Τὸ αὐτό.[2]

---

[1] Cod. εἰς.

[2] Cod. Τὸ αὐτὸ Δόξα.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ἐκ τῶν κόλπων κατῆλθε τῶν πατρικῶν, ὁ μηδέποτε τούτους καταλιπών, ἡνώθη παχύτητι, τῆς σαρκὸς ὁ Ἀόρατος, τοῦ σταυροῦ τὸ πάθος, ἑκὼν κατεδέξατο, τοὺς νεκροὺς ἀνέστησε, νεκρώσας τὸν θάνατον· ὅθεν τὴν πηγήν σε, τῶν τοσούτων θαυμάτων, ὑμνοῦντες κραυγάζομεν, τοῦ ἀγγέλου τὸ χαῖρέ σοι, χαῖρε κλίμαξ οὐράνιε, καὶ γέφυρα Παρθένε χρυσῆ, πρὸς ζωὴν μετάγουσα τὸν ἄνθρωπον, χαῖρε ᾅδου ἡ κένωσις Ἄχραντε.

Οἱ ἀναβαθμοί.

Τὸ α′ ἀντίφωνον τοῦ δ′ ἤχου.

Προκείμενον. Ἦχος β′.

Τὸ στόμα μου λαλήσει σοφίαν.
Στίχος. Ἀκούσατε ταῦτα.

Εὐαγγέλιον κατὰ Ἰωάννην.
Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα.

Δόξα. Ταῖς τοῦ ἱεράρχου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος β′.

<Στίχος. Ἐλέησόν με ὁ Θεός.>
Ἀγγελικὸν βίον ἐν γῇ ἐπιδειξάμενος, ἱεράρχα Φιλόθεε, ψήφῳ Θεοῦ τὴν ποιμαντορικὴν ῥάβδον ἐγχειρισθείς, καὶ ἐν καθέδρᾳ πατριαρχῶν καθίσας, τὸν Κύριον εὐθέσιν[1] ἔργοις ἐδόξασας· καὶ τὸ τῆς οἰκουμένης σκάφος καλῶς κυβερνήσας, εἰς λιμένα σωτήριον Ὀρθοδοξίας διέσωσας, βυθίσας αἱρετιζόντων πειρατῶν σκάφη, εἰς ἀπωλείας βυθόν· διὸ καὶ νῦν τὴν τιμῶσαν σε ποίμνην, εἰς νομὰς σωτηρίους ἴθυνον, καὶ ῥῦσαι δεόμεθα ἐκ δεινῶν περιστάσεων.

Ὁ κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς στ′, καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η′.

Ὁ πρῶτος. Ἦχος δ΄.
Ὠδὴ α′. Ἀνοίξω τὸ στόμα μου.

Τοῦ Πνεύματος ὄργανον, ἀναδειχθεὶς ἱερώτατε, Φιλόθεε Χάριτος κιθάρα ἔμμουσος, Ἀκινδύνου τε, καὶ Βαρλαὰμ τὴν πλάνην, ἀπήμβλυνας λόγοις σου, πανσόφοις πάνσοφε.

---

[1] Cod. εὐθέοις.

Ὁ νοῦς σου ὁλόφωτος, θεολογίας ἐπέφανε, Φιλόθεε πάνσοφε καὶ κατεφώτισε, τὰ συστήματα τῶν ὀρθοδόξων πάντα[1], φωτὶ τῷ τοῦ Πνεύματος, ὁ ἀνεκήρυξας.

Μονάδα Θεότητος, θεολογεῖν ἐδιδάχθημεν, ταῖς διδασκαλίαις σου Μάκαρ Φιλόθεε, ὑποστάσεσι, τρισὶ γνωριζομένην, τὸ Πνεῦμα ἐκ μόνου δε, Πατρὸς ἰώμενον.

Θεοτοκίον.

Στολὺ χρηματίσασα, τοῦ ἀνδρωθέντος βασίλειος, Θεοῦ Λόγου σου Πάναγνε, τὴν θεοποίκιλτον, ἣν ἀπώλεσας, στολὴν χάριτος θείας, πάλιν με ἀμφίασον τῇ μεσιτείᾳ σου.

<Ὁ> ἕτερος κανών. Ἦχος πλ. α΄.
Ἵππον καὶ ἀναβάτην.

Μύρου ἐνθέου πάτερ, ὑψόθεν ἐμφορηθείς, μυριπνόοις εὐχαῖς σου πλουσίως καταμύρισον, τὸν νοῦν μου Φιλόθεε, τοῦ μυρίσαι ᾄσμασι, σοῦ τὴν μνήμην τὴν πανευφρόσυνον.

Νοῦν τε καὶ τὴν καρδίαν Φιλόθεε καθαρθείς, μύρου θείου ταμείου, ἐγένου θείου Πνεύματος, ὀσμαῖς οὖν χαρίτων σου, πάντας Πάτερ μύρισον, Ἱεράρχα τοὺς σὲ γεραίροντας.

Θείων ἐννοημάτων ἐκ βρέφους ἀναπλησθείς, ἐκλογῆς θεῖον σκεῦος, Φιλόθεε γεγένησαι, καὶ Πνεύματος ὄργανον, πάγχορδον τρεπόμενον, τῶν αἱρέσεων ἀπηχήματα.

<Θεοτοκίον.>

Θαῦμα ἐν σοὶ τεέῖται Παρθένε, ὅτι μύρου τοῦ θείου ἀλάβαστρον γεγένησαι· παθῶν οὖν μου Δέσποινα, δυσωδίας λύτρωσαι, μυροδόχε Κόρη θεόκλητε.

Καταβασία.

Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὑπῆρξας ναὸς ἡγιασμένος, ἐκ βρέφους Φιλόθεε σοφέ, τοῦ Πνεύματος καὶ γέγονας, ποιμὴν τῆς Ἐκκλησίας Χριστοῦ, καὶ τὰς αἱρέσεις ἔτρεψας, τῶν κακοδόξων τοῖς λόγοις σου.

---

[1] Cod. πάντα τῶν ὀρθοδόξων.

Νοῒ συγραθεὶς τῷ ἀνωτάτῳ, δι᾽ ἄκρας ἑνώσεως σοφέ, φωτὶ τῷ τούτου πάνσοφε, καλλιγραφεὶς τὰ πάνσοφα, περὶ Θεοῦ τῆς φύσεως, καὶ ὑψηλότατα δόγματα.

Ῥημάτων ἐνθέων σου ὁ φθόγγος, εἰς πᾶσαν διήχησεν τὴν γῆν, τὰ ὑψηλὰ τοῦ Πνεύματος, ὑπερφυῆ μυστήρια, καὶ τούτων τὴν ἀνάπτυξην, ἐν ὑψηγόροις νοήμασιν.

Θεοτοκίον.

Ὁ πᾶσιν ἀνέκφαντος τοῖς οὖσιν, ἐκ σοῦ ἐπεφάνη τοῖς βροτοῖς, σωματικῶς Πανάχραντε, ἀλλὰ μετὰ τὴν ἔκφανσιν, κἂν τῇ ἐκφάνσει ἔμεινεν, οἷα Θεὸς πάλιν ἀγνώριστος.

Ἄλλος. Ὁ πήξας ἐπ᾽ οὐδενός.

Ὁ μύρου τὴν δωρεὰν θεόθεν δεξάμενος, ὡς καθηγνισμένος ἐνθέοις πράξεσι, μύρισον κἀμὲ Πάτερ σοφέ, ὅλον καταχρανθέντα, ταῖς ἐναγέσιν ἐργασίαις μου, μάκαρ θεοῤῥῆμον Φιλόθεε.

Πολλή σου ἡ πρὸς Θεόν, ἐδείχθη θεσπέσιε, παῤῥησία ὄντως καὶ μετὰ θάνατον· μῦρα γὰρ πηγάζεις ἐκ πηγῆς, θείου σκηνώματος σου, καὶ θεραπεύεις τὰ νοήματα, Πάτερ ἱεράρχα Φιλόθεε.

Ἔπη τῶν μελιῤῥύτων καὶ ὑψηγόρων σου, θεοφθόγγων δογμάτων πάντας ἐφώτισε, πόθῳ οὖν καὶ γνώμῃ ἀκλινεῖ, καὶ πίστει ἀδιστάκτῳ, καὶ κατ᾽ ἀξίαν εὐφημοῦμέν σε, μάκαρ Ἱεράρχα Φιλόθεε.

Θεοτοκίον.

Ἐλύθη ἡ τῆς ἀρᾶς δυσώδης κατάκρισις, τῇ σῇ μεσιτείᾳ Παρθένε ἄχραντε· ἐν σοὶ γὰρ ὁ μύρου χορηγός, ὀφθεὶς τὴν εὐωδίαν, ὡς ἀγαθὸς ἡμῖν ἀνέβλυσε, μόνη μυροδόχε Πανύμνητε.

Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. (Ἦχος πλ. δ΄.) Τὴν σοφίαν καὶ λόγον.

Ἐγκρατείας ἱδρῶσιν ἀσκητικοῖς, κατασβέσας τὴν φλόγα τὴν τῶν παθῶν, πᾶσιν ἀνέβλυσας, διδαγμάτων τὸ πέλαγος, καὶ ἐν αὐτῷ ὡς ἄλλος, Μωσῆς κατεπόντισας, τὰ τῆς πλάνης ἅρματα, αἱρέσεων φρύαγμα· ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, τὴν πάμφωτον μνήμην σου, Ἱεράρχα Φιλόθεε, καὶ βοῶμεν ἐκ πόθου σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν

πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς δεχομένοις ἐν πίστει, <τὰ> σοφά σου συγγράμματα.

Ἕτερον. Δόξα. (Ἦχος γ΄.) Τὴν ὡραιότητα.

Διαφανέστατον, καθάπερ ἔσοπτρον, τὴν σὴν διάνοιαν ἀπεργασάμενος, ἀκτινοβόλους ἀστραπάς, τοῦ Πνεύματος εἰσεδέξω, καὶ τὰ ἀμαρύγματα, Τρισηλίου ἐλλάμψεως, ὅθεν καὶ ἠξίωσαι, καθαρῶς σαφηνίσαι ἡμῖν, τὸ Πνεῦμα ἐκ Πατρὸς ἐκπορεύεσθαι, τὴν μέθεξιν Αὐτοῦ ἡμῖν παρεχόμενον.

Καὶ νῦν. Θεοτοκίον. < Τὴν ὡραιότητα.>

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Ἄγγελόν σε ἔγνωμεν ἄλλον ἐν γῇ, Πάνσοφε ἐκ πόλου φοιτήσαντα, καὶ διδαχαῖς σου καταυγάσαντα ἡμᾶς, αἱρετικῶν δε σύστημα, ἅπαν ἐκποδὼν ποιησάμενον.

Γλῶσα ἡ βρενθύουσα ῥητορικαῖς, τέχναις καὶ μεθόδοις οὐ δύναται, ἐγκωμιάσαι, τὰ χαρίσματα τὰ σά, ἃ ὑπὲρ φύσιν εἴληφας, μάκαρ θεοφάντορ Φιλόθεε.

Εὗρες τὸ δυσεύρετον πάλαι καὶ νῦν, χρῆμα θεοφάντορ Φιλόθεε, τὸ θεωθῆναι, καὶ ἁρπάζεσθαι τὸν νοῦν, γῆθεν εἰς τὰ οὐράνια· ὢ τοῦ ξενηκούστου ἀκούσματος.

Θεοτοκίον.

Ὢ θαῦμα θαυμάτων πῶς ἐν ταῖς σαῖς, μητρικαῖς ἀγκάλαις συνέχεται, ὁ ἐν ἐσχάτῳ περιέχων συνοχῇ, καὶ διϊθύνων ἅπαντα, ἀρίστως τοῦ κόσμου τὰ πέρατα.

Ἄλλος. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Τῇ θείᾳ ἡδυνθεὶς πολιτείᾳ σου, Χριστὸς τὸ μύρον τὸ καινόν, μύρου σοι χάριν χαρίζεται, εὐωδιάζειν τοὺς πάντας, ὀσμαῖς σῶν συγγραμμάτων Φιλόθεε.

Τοῦ μύρου διδαχῶν σου δαψίλειαν, ἀποναρκεῖ πᾶς συνετός, ἀνευφημῆσαι Φιλόθεε, καὶ ὡς εἰκὸς ἀνυμνῆσαι, ἀλλ᾽ οὖν ὡς ἐφικτόν σε γεραίρομεν.

Ὀφρὺν Πολυκινδύνου κατέβαλες, καὶ δελφικοὺς τρόπους σοφέ, τοῦ Βαρλαὰμ ἐμυκτήρισας, καὶ τὴν ὀρθόδοξον πίστιν, ἐκράτυνας Φιλόθεε λόγοις σου.

<Θεοτοκίον.>

Οἰκτείρησον οἰκτήρμων ὑπάρχουσα, τοὺς σοὺς οἰκέτας Ἀγαθή[1], καὶ μύρῳ θείῳ σου μύρισον, ὡς νοητὴ μυροθήκη, ὦ Μῆτερ μυροδόχε Θεόνυμφε.

<Καταβασία.>

<Τὴν ἀνεξιχνίαστον.>

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ῥητόρων λαλίστερος, ἀναδειχθεὶς θεόσοφε, τοὺς περὶ Θεὸν ἐνθέους λόγους, καὶ ὑπολήψεις ἐθεολόγησας, ἐλέγξας αἱρέσεων δεινάς, φληναφίας πάνσοφε, ταῖς σοφαῖς ἀποδείξεσιν.

Ἰδοὺ νῦν ἀνέτειλε, τὸ φῶς τῆς θείας χάριτος· ἰδοὺ ἀμβροσία ἡ τοῦ μάνα, τοῦ ζωηῤῥύτου πᾶσι προτίθεται, Φιλοθέου λόγοι οἱ τερπνοί, ὡς κηρίου μέλιτος, οἱ πεινῶντες κορέσθητε.

Ἀνοίξας τὸ στόμα σου, λαλαεῖν Θεοῦ μυστήρια, ᾔσχυνας πολύγλωσσον ἀπάτην, Πολυκινδύνου μάκαρ Φιλόθεε, ὅθεν καὶ κατέχομεν τὰ σά, τεύχη τὰ θαυμάσια, εἰς ἐκείνου ἀναίρεσιν.

Τὸν μέγαν ὑμνήσωμεν, σοφὸν Ἱεροφάντορα, τῆς ὑπερουσίου θεαρχίας, δογματιστήν τε ὀρθοδοξότατον, Φιλόθεον πάντες ἀδελφοί, προστάτην καὶ πρόμαχον, Ἐκκλησίας ὑπάρχοντα.

Θεοτοκίον.

Ῥητόρων ἡ εὔλαλος, γλῶσσα εἰπεῖν οὐ δύναται, τῆς θεοπλαστίας τοῦ Υἱοῦ σου, τὸ ὑπὲρ φύσιν Κόρη μυστήριον, ἄγνωστον γὰρ μένει ἀληθῶς, καίπερ γινωσκόμενον, καὶ λεγόμενον ἄῤῥητον.

Ἄλλος. Ὁ ἀναβαλλόμενος.

Ὕψους ἐφιέμενος, ἀρετῶν τρισόλβιε, εἰς ὄρος ἦλθες Ἄθω, καὶ μύρον, λόγου χάριν εἴληφας, δι᾽ οὗ ἐξηλέγχθη, αἱρετικῶν κακόνοια.

Ἔστεψέ σε Κύριος, δωρεῶν ταῖς χάρισι, δεινὰς αἱρέσεις ἀποδιώκειν, σφενδόνι τῶν λόγων σου, Φιλόθεε τρισμάκαρ, τῆς μονῆς ἡμῶν προστάτα.

Ἔλλαμψιν δεξάμενος, τὴν θείαν ἄνωθεν, λελαμπρυσμένος ὤφθης τρισμάκαρ, καὶ ψυχὰς καὶ σώματα, ἡμῶν θεραπεύεις, Φιλόθεε ἀείμνηστε.

---

[1] Cod. Ἀγαθέ.

Θεόπνευστον ὄργανον, τοῦ θείου Πνεύματος, σοφὲ ἐδείχθης σοφοῖς σου λόγοις, Ἀκίνδυνον ἤλεγξας, καὶ τὴν Ἐκκλησίαν, ἐστήριξας τρισμάκαρ.

Θεοτοκίον.

Δεῦρο ἀπὸ λίβανον, ὢ μῆτερ καὶ νύμφη μου, δεῦρο ἐκ λιβάνου Χριστός σοι κράζει, Παρθένε πανάμωμε, κηρίου γὰρ σὰ χείλη, καὶ μέλι ἀποστάζουσιν.

<Καταβασία.>

<Ἐξέστη τὰ σύμπαντα.>

Ὠδὴ στʹ. Τὴν θείαν ταύτην.

Τὸν ποτεμὸν τὸν ἀένναον, τὸν ἐκ τῆς νοητῆς Ἐδὲμ βλύζοντα, τῆς θείας χάριτος, δεῦτε ἐν ὕμνοις τιμήσωμεν, Φιλόθεον τὸν μέγαν, πιστῶν τὸν πρόμαχον.

Ἡ θεὶα λύρα τοῦ Πνεύματος, κιθάρα μελουργὸς ἡ ἠχήσασα μέλη οὐράνια, ὁ Ἱεράρχης Φιλόθεος, τῆς Ἐκκλησίας πρόμαχος, εὐφημείσθω μοι.

Ὁ μέγας κήρυξ τῆς χάριτος, ὁ τρέψας Βαρλαὰμ καὶ Ἀκίνδυνον, λόγοις καὶ γράμμασι, τῇ φωταυγίᾳ τοῦ Πνεύματος, χρεωστικῶς ἐν ὕμνοις, νῦν μεγαλύνεται.

Θεοτοκίον.

Ἀγγέλων πάναγνε Δέσποινα, τὰ τάγματα ὑμνεῖν σε οὐ δύνανται, σὺ γὰρ ἐγέννησας, τὸν ἐπ᾽αὐτῶν καθεζόμενον, καὶ τρισαγίοις ᾄσμασιν ἀνυμνούμενον.

Ἄλλος. Μαινομένην κλύδωνι.

Ὢ μεγίστης χάριτος, Ἱεράρχα, ἧς περ ἐκ Θεοῦ, ὑπεδέξω πάνσοφε Φιλόθεε, θεοπτικῶς, θεολογεῖν τὰ τῆς χάριτος.

Ῥήματα ἐφθέγξω μέν, θεηγόρῳ γλώσσῃ σου σοφέ, τοῦ Ἁγίου Πνεύματος Φιλόθεε, τὰ μυστκά, καὶ τὰς αἱρέσεις ἀνέτρεψας.

Μυριπνόοις λόγοις σου, εὐωδίας ἅπαντας ἡμᾶς, ἔπλησας Φιλόθεε πανθαύμαστε· καὶ τοῦ Χριστοῦ, τὴν Ἐκκλησίαν ἐμύρισας.

Θεοτοκίον.

Λῦσον νῦν τὰ σκάνδαλα, τὰ τὴν ποίμνην Δέσποινα τὴν σήν, δεινῶς ἐκταράττοντα, καὶ ἕνωσιν δὸς ἀγαθή, ὡς μυροδόχος πανάμωμε.

www.tezaurliturgic.ro

<Καταβασία.>

<Τὴν θείαν ταύτην.>

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῷ φωτὶ λαμπόμενος, τῷ τρισηλίῳ θεόφρον, θεολόγος γέγονας, τῆς ὑπερθέου Τριάδος, ἄνωθεν σοφίας λόγον καταπλουτήσας, ἔβλυσας θεοσοφίας ἔνθεα ρεῖθρα, ἐξ ὧν πίνοντες βοῶμεν· χαίροις τρισμάκαρ, Φιλόθεε πάνσοφε.

Ἕτερον. <Ἦχος πλ. δ΄.> Πρὸς τό, Τῇ ὑπερμάχῳ .

Ὡς Ἱεράρχην Βυζαντίου ἀνυμνοῦμέν σε, καὶ ἀποστόλων ὀπαδὸν καὶ ἰσοστάσιον, καὶ τοῦ Ἄθω σεμνολόγημα καὶ φωστῆρα· δὸς οὖν Πάτερ καὶ ἡμῖν τὴν σὴν ἀντίληψιν, ὡς προστάτης καὶ φρουρὸς ἡμῶν καὶ πρόμαχος, ἵνα κράζωμεν· χαίροις μάκαρ Φιλόθεε.

Ὁ Οἶκος.

<Ἄγγελος πρωτοστάτης.>

Ἄγγελος οὐρανόφρων, ἐγνωρίσθης ἐν κόσμῳ, ζωὴν ἀγγελικὴν βιωτεύσας, κατ᾽ οὐδὲν ἢ βραχύ τι παρ᾽ αὐτοὺς ἠλαττωμένος, τῷ δεσμῷ τῆς ὕλης τῆς σαρκὸς δὲ λυθεὶς μάκαρ νῦν, ὤφθης ἄϋλος· διό σοι προσφωνοῦμεν[1] ταῦτα.
Χαῖρε πασῶν ἀρετῶν ταμεῖον,
χαῖρε φωτὸς θεϊκὸν δοχεῖον·
χαίροις τῶν πολλάκις πιπτόντων ἀνόρθωσις.
χαίροις τῶν πταιόντων ἁπάντων διόρθωσις·
χαίροις ὅτι ἀποδέδειξαι τοῦ Θεοῦ δοῦλος πιστός,
χαίροις ὅτι ἐστεφάνωσε διὰ τοῦτό δε Χριστός·
χαίροις τῆς Ἐκκλησίας ὁ ἀκράδαντος στύλος,
χαίροις Ὀρθοδοξίας ὁ ἀσύγκριτος φίλος·
χαίροις λαμπτὴρ τοῦ Ἄθω ὁ πάμφωτος,
χαίροις ἀστὴρ μονῆς σου λαμπρότατος·
χαίροις κανὼν ὑπερβαίνων τὴν φύσιν,
χαίροις φρουρὸς ἡμῶν <ἐν τῇ πίστει>[2]
Χαίροις μάκαρ Φιλόθεε.

---

[1] Cod. προσφωνῶμεν.

[2] Cod. καὶ ἀντίληψις.

www.tezaurliturgic.ro

<Συναξάριον. Πρῶτον τῆς ἡμέρας ἐκ τοῦ Μηνιαίου καὶ εἶτα τὸ ἑξῆς·>

Τῷ αὐτῷ μηνὶ ια′[1], μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Φιλοθέου, Πατριάρχου Κωνσταντινουπόλεως, τοῦ Θεολόγου.

Στίχοι.

Χαρισμάτων ἄβυσσον ἐξ ὕψους ἔχων,
ὁ μέγας ποιμὴν προσκαλεῖ ἡμᾶς πάντας,
λόγων αὐτοῦ τράπεζαν ἅβραν ἀρτύων
ἀφθόνως παγκόσμιον φῶς ἐπιλάμπει.

Τῇ πρώτῃ καὶ δεκάτῃ[2] Φιλόθεος πόλον εὐρύνει[3].

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις <Χριστὲ ὁ Θεός, καὶ πάντων τῶν ἁγίων Σου, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.>

Ὠδὴ ζ′. Οὐκ ἐλάτρευσαν.

Ἐξεχύθη σου, ἡ χάρις ἐν τοῖς χείλεσι, πλουσία ἄνωθεν, Φιλόθεε ἀληθῶς, καὶ πάσας ἀνέτρεψας τὰς φληναφίας σοφῶς, Ἀκινδύνου τε, καὶ Βαρλαὰμ τοῦ ἄφρονος, τῶν μωρῶν δοκησισόφων.

Ὁ πολύφωτος καὶ πάγχρυσος τῆς χάριτος, καὶ λαμπρὸς ἥλιος, τῆς Ἐκκλησίας Χριστοῦ, σεπτὸν διερχόμενος, ἅπαν στερέωμα, καταυγάζει μέν, πιστῶν ἅπαν τὸ πλήρωμα, ἀμαυροῖ δὲ τὰς αἱρέσεις.

Λογιώτατος, λογίων θεοδίδακτος, καὶ πνευματέμφορος, σὺ θεολόγος Χριστοῦ, ἐδείχθης τοῖς πέρασι μάκαρ Φιλόθεε, ἐπιστήθιος, δεύτερος καὶ Γρηγόριος, ὁ πυρίπνους θεολόγος.

<Θεοτοκίον.>

Σὺν ἀγγέλοις καὶ βροτῶν τὸ γένος Ἄχραντε, ἀναβοῶμέν σοι, ἀκαταπαύστῳ φωνῇ· χαῖρε στάμνε πάγχρυσε, πόκε θεόδροσε, τόμε ἄμωμε, χαῖρε νεφέλη ἔμψυχε, χαῖρε στάμνε ἡ τοῦ μάνα.

---

[1] Ἐὰν ἡ μνήμη τελῆται τῇ Ε′ Κυριακῇ τῶν Νηστειῶν λέγε: «Τῇ αὐτῇ ἡμέρᾳ», εἶτε δὲ τὸ συναξάριον τοῦ Τριῳδίου.

[2] Ὁμοίως ἐν τῇ περιπτώσει ταύτῃ λέγε: «Τῇ αὐτῇ ἡμέρᾳ».

[3] Cod. difficile lectu.

Ἄλλος. Ὁ ὑπερυψούμενος.

Φύλαττε τὴν ποίμνην σου, ἀνωτέραν πάνσοφε, παντοίας κακώσεως, Φιλόθεε ὅπως σε, γεραίρει ἀπαύστως, ἐν ὕμνοις εἰς αἰῶνας.

Μύρῳ χρισθεὶς Ἅγιε, τοῦ ἁγίου Πνεύματος, εὐῶδες θυμίαμα, Κυρίου γεγένησαι, πιστοὺς εὐωδιάζον, τοὺς τελοῦντάς σου τὴν μνήμην.

Πόθῳ τοὺς τελοῦντας, μνήμην τὴν πανίερον, καὶ ἀσπαζομένους σου, εἰκόνα τὴν πάντιμον, φωτὸς ἀῤῥήτου πλῆσον, ὦ Φιλόθεε τρισμάκαρ.

<Θεοτοκίον.>

Ἡ τὸ μύρον Πάναγνε, τὸν Χριστὸν γεννήσασα, τοῖς δούλοις σου Δέσποινα, αὐτὸν ἐξιλέωσαι, τοῖς πόθῳ σε τιμῶσι, μυροδόχε Παναγία.

<Καταβασία.>

<Οὐκ ἐλάτρευσαν.>

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ὁ πλάσας καρδίας κατὰ μόνας, καὶ πάντα πρὸ τοῦ γενέσθαι ἐπιστάμενος, σὲ ὡς λίθον τίμιον, ὄντως ἐκλεξάμενος, τῇ Ἐκκλησίᾳ Πάνσοφε ἐπῳκοδόμησε, ποιμαίνειν αὐτὴν καὶ ἀνατρέπειν, αἱρέσεις κακίστας, τῶν λατινοφρονούντων.

Μετάρσιος Μάκαρ ἀνεδείχθης, ἐκ γῆς πρὸς τὸν οὐρανὸν μετατιθέμενος, ὥσπερ θείῳ ἅρματι, ἀρετὰς χρησάμενος, καὶ λόγους τοὺς πανσόφους σου, ὅθεν κατέπαυσας, ἐν τόποις φωτεινοῖς ἔνθα ἦχος, τῶν ἑορταζόντων, καθαρῶς ἑορτάζει.

Νυνὶ τῶν ἐσόπτρων παρελθόντων, σκιῶν λυθεισῶν καὶ τῶν ἐκφάνσεων, πρόσωπον πρὸς πρόσωπον, βλέπεις Παμμακάριστε, τῆς τριλαμποῦς Θεότητος, τὰς θεουργοὺς ἀστραπάς, θεώσεως τρανῶς ἀπολαύων, καὶ τοῦ γλυκυτάτου, τῆς θεαρχίας κάλλους.

Θεοτοκίον.

Ἅγιον ἁγίων ὡς τεκοῦσα, ἁγίοις ἀεὶ τὸν ἐπαναπαυόμενον, καὶ ὡς μόνη στήσασα, κατ' ἐχθρῶν παγράτιον, τῶν ἀοράτων Πάναγνε, τὸν νοῦν φυλάξασα, ἀνώτερον ἐννοίας ἀτόπου, καλὴ παρὰ πάντων, δικαίως Παναγία.

Ἄλλος. Σοὶ τῷ παντουργῷ.

Σὲ ὁ παντουργός, καὶ παντεπόπτης μάκαρ, ὡς ἥλιον τέθεικε τῇ Ἐκκλησίᾳ αὐτοῦ, πάντας φωτίζειν, πιστοὺς λόγοις πανσόφοις, διὸ σὲ ὑμνοῦμεν, Φιλόθεε ἀξίως.

Ὄρθρος νοητὸς τοῖς ἐν σκοτίᾳ ὤφθης, τῆς πλάνης Φιλόθεε, φῶς ἐπιγνώσεως, πᾶσιν αὐγάζων, τοῖς πόθῳ σὲ ὑμνοῦσι, καὶ ἐκμελετῶσι, τὰ πάνσοφά σου ἔπη.

Ὡς θεοφεγγὴς τῶν ὀρθοδόξων στύλος, δειχθεὶς ὦ Φιλόθεε, καὶ ἡμᾶς φώτισον, ἐσκοτισμένους τοῖς πάθεσι τοῦ βίου, ἵνα σε ἀπαύστως, τιμῶμεν Ἱεράρχα.

Θεοτοκίον.

Τέξασα ἡμῖν, ἁγνὴ τὸ θεῖον μύρον, τοὺς δούλους σου Δέσποινα κατευωδίασον, τοὺς τῇ σῇ ποίμνῃ ἐμμένοντας ἐνθέως, ὅπως σε ὑμνῶμεν, ἁγία Θεοτόκε.

<Καταβασία.>

<Παῖδας εὐαγεῖς.>

Ὠδὴ Θ΄. Ἅπας γηγενής.

Χαίροις νῦν χαράν, τὴν ὄντως ἀπέραντον καὶ ἀνεκλάλητον, ἱερὲ Φιλόθεε, ὅπου χωρίον χαρᾶς τὸ χάριεν· ἐντρύφα λοιπὸν Ἅγιε, σκίρτα καὶ χόρευε, ἀπολαύων, κάλλη τὰ οὐράνια, καὶ ἡμῶν τῶν τιμώντων σε μέμνησο.

Μνήσθητι ἡμῶν, τρισμάκαρ Φιλόθεε, τῶν ἐκτελούντων σου, μνήμην τὴν πανίερον, καὶ τῶν κινδύνων ἡμᾶς ἐκλύτρωσαι, <καὶ τήν> μονὴν δὲ φρούρησον[1], τὴν <σοὶ> ἐπώνυμον, λιτανεύων, πάτερ ἀγαθότητα, ἣν ἐνθέοις ἐν λόγοις ἀνύμνησας.

Δέχου τὴν ᾠδήν, ταύτην ἣν προσάγομεν μάκαρ Φιλόθεε, δῶρον ὡς ἐλάχιστον, τοῦ πολλοῦ χρέους οὗ πρός σε ἔχομεν, καὶ τὴν μονήν σου φύλαττε, πάσης ἀπήμονα, ἐπηρείας, τοῦ δολίου δράκοντος, τὴν τελοῦσαν τὴν πάμφωτον μνήμην σου.

Θεοτοκίον.

---

[1] Cod. φρούρει σου.

Σῶσόν με Ἁγνή, Θεοῦ ἡ λοχεύτρια, πίστει σοι μέλποντα, χαῖρε οἰκητήριον, τοῦ βασιλέως ἁγνὴ πανάμωμε, χαῖρε ἡ θεία τράπεζα, ἄρτον βαστάσασα, ζωῆς κόρη, χαῖρε βάτε ἄφλεκτε, χαῖρε πύλη Θεοῦ ἀδιόδευτε.

<Ἄλλος.> Ἠσαΐα χόρευε.

Νῦν ὡς παριστάμενος, ἐν ὑψίστοις τῷ παμβασιλεῖ, λιτὰς ὑπὲρ ἡμῶν, ποίει ἐκτενῶς, τῶν πίστει καὶ πόθῳ τε, εἰλικρινεῖ, μνήμην τὴν σεπτήν, ἀνευφημούντων σου, πανυπέρτιμε Φιλόθεε.

Τὴν πληθὺν παράλαβε, τῶν ἐν Ἄθῳ ὄρει τῷ σεπτῷ, λαμψάντων τηλαυγῶς, καὶ ὑπὲρ ἡμῶν, τῷ Κτίστῃ προσάγαγε, δέησιν σοφέ, πάσης πονηρᾶς, βλάβης φυλάττεσθαι, Ἱερώτατε Φιλόθεε.

Τὴν ᾠδὴν πεπλήρωκα, σοὶ θαῤῥήσας μάκαρ ὁ οἰκτρός, καὶ σὴν ἐπικληθείς, θείαν ἀρωγήν, τὰ σὰ γοῦν δεξάμενος, ἀπὸ τῶν σῶν, χάριτος τῆς σῆς, νῦν με ἀξίωσον, παναοίδιμε Φιλόθεε.

Θεοτοκίον.

Οὐδείς σου πανύμνητε, ἄνευ σθένει σωθῆναι βροτῶν, προσπίπτοντες οὖν, πάντες ἐκτενῶς, βοῶμεν πανάχραντε, σῶσον ἡμᾶς τοὺς ἁμαρτωλούς, σοὶ γὰρ πεποίθαμεν, Θεοτόκε κόρη πάνσεμνε[1].

Καταβ <ασία> Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Ὁ ὑπέρλαμπρος ἀστήρ, τῆς Ἐκκλησίας ηὔγασε, καὶ συγκαλεῖ τῶν εὐσεβῶν, τὴν ἱερὰν ὁμήγυριν, δεῦτε συμφώνως ἅπαντες, μετάσχωμεν τῶν τούτου, τερπνῶν ἐπιλάμψεων.

Ἕτερον· Γυναίκες ἀκουτίσθητε.

Τὸν θεολόγον ἅπαντες, Φιλόθεον τιμήσωμεν, τῶν μοναζόντων τὸ κλέος, ἀρχιερέων τὴν δόξαν, πατριαρχῶν τὸ καύχημα, καὶ μοναστῶν ἀγλάϊσμα, τῆς χάριτος τὴν σάλπιγγα, καὶ τῆς Χριστοῦ Ἐκκλησίας, τὸν ζωηφόρον φωστῆρα.

[1] Ἡ ᾠδὴ αὕτη τοῦ δευτέρου κανόνος, παραλειφθεῖσα ἐκ τοῦ πρὸ τῆς Καταβασίας «Ἅπας γηγενής» χώρου, φέρει τὴν σημείωσιν: «Ἡ ἀπολειφθεῖσα ἔμπροσθεν θ΄ Ὠδή». Σημειωτέον ὅτι ἐν τῷ κώδικι ἕπεται τὸ μεγαλυνάριον, ὅπερ ἐτέθη ἐν τῇ λειτουργίᾳ.

< Ἕτερον.>

Ὁ αἰσθητός μὲν ἥλιος, τὸ πρωΐ ἀνατέλλων, φωτίζει κόσμον ἅπαντα, φθάσας δὲ δύσιν ὅμως, ἰδίας κρύπτει ἀκτῖνας, σὺ δὲ πάνσοφε Πάτερ, ἥλιος ὤφθης ἄδυτος, ἐν νυκτὶ καὲ ἡμέρᾳ φωταγωγῶν, λόγοις ἱεροῖς σου οὐ παύεις πάντας· ὅθεν ἡλίου γέγονας, αἰσθητοῦ πολλῷ πλέον.

Θεοτοκίον.

Μετὰ Θεὸν σὺ Δέσποινα, ἀνεδείχθης κυρία, τὰ δευτερεῖα ἔχουσα, τῆς Ἁγίας Τριάδος, τῆς πίστεως ἀρχὴ πρώτη, καὶ ἐλπίδος ἡ βάσις, τὸ ἔρεισμα τῆς πράξεως, καὶ κρηπὶς θεωρίας ἀκροστιχίς, προφητῶν ἀπάντων καὶ Γραφῶν πίναξ, πόλου καὶ γῆς τεράστιον, καὶ στοιχεῖον τοῦ κόσμου.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή.

Ἱστώμεν στίχους δ', και ψάλλομεν Προσόμοια.

*Ηχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ ἐν ὑψίστοις οἰκῶν Θεός σε Πάτερ, ποιμένα προβάλλεται τῆς Ἐκκλησίας αὐτοῦ, καὶ ὑποφήτην καὶ κήρυκα, τοῦ θείου Λόγου, ταῖς θεοσόφοις διδασκαλίαις σου, πιστῶν τὰ συστήματα καταπυρσεύοντα, καὶ ποδηγοῦντα τοὺς πίστει σοι, ἐφεπο- μένους, πρὸς ἐνταλμάτων θείων ἐκπλήρωσιν· ὅθεν καὶ νῦν σου τὴν πανίερον, μνήμην πιστῶς τοὺς γεραίροντας, εὑρεῖν λύσιν πταισμάτων, ὦ Φιλόθεε ἱκέτευε.

Ἱεραρχίας στολαῖς ἠγλαϊσμένος, καὶ βίου λαμπρότησιν ἐμπρέπων Ὅσιε, τῆς μακαρίας τετύχηκας, λήξεως μάκαρ, ἐν τοῖς ὑψίστοις συναυλιζόμενος, τοῖς ἄνω στρατεύμασι καὶ τὸν τρισάγιον, ὕμνον τῷ πάντων δεσπόζοντι, σὺν τούτοις μέλπων, καὶ τῆς ἐκεῖθεν αἴγλης πληρούμενος· μεθ’ ὧν πρεσβεύων παναοίδιμε, μὴ ἐλλίπῃς Φιλόθεε πάνσοφε, πειρασμῶν ἐκ παντοίων, λυτρωθῆναι τοὺς ὑμνοῦντάς σε.

Θεοφεγγέσι στιλπνότησι τρισμάκαρ, ἱερὲ Φιλόθεε τῶν θείων λόγων σου, φωταγωγεῖς τὰ συστήματα, τῶν ὀρθοδόξων, καὶ ἀπελαύνεις σκότος αἱρέσεων, καὶ χάος βαθύτατον τῶν καρδιῶν αὐτῶν· ὅθεν μονὴς ἐπωνύμου σου, φύλαξ τυγχάνεις, καὶ φῶς τοῦ Ἄθω καὶ πρέσβυς ἄγρυπνος· διὸ τὴν μνήμην σου τὴν πάμφωτον, καὶ ἱερὰν καὶ σωτήριον, πάνσοφε ἐκτελοῦμεν, ἐπαξίως ἐνυμνοῦντές σε.

Ὡς ποταμὸς τοῦ Θεοῦ πεπληρωμένος, ναμάτων τοῦ Πνεύματος, ὤφθης Φιλόθεε, καὶ πλημμυρῶν θεῖα δόγματα, καὶ καταρδεύων, τῆς Ἐκκλησίας

ἅπαν τὸ σύστημα, βυθίζων τὸ στῖφος δὲ τὸ τῶν αἱρέσεων, ἐν τῷ πελάγει τῶν θείων σου, λόγων τρισμάκαρ, καὶ ἐν τῷ βάθει τῶν νοημάτων σου· σὺ γὰρ τὸ Πνεῦμα ἐκπορεύεσθαι, ἐκ Πατρὸς δι᾽ Υἱοῦ ἀνεκήρυξας, Βαρλαὰμ καταισχύνας, καὶ Ἀκίνδυνον τοὺς ἄφρονας.

Δόξα. Ἦχος πλ. α΄.

Εὐφράνθητι ἡ καινὴ Σιών, ὁ κλῆρος τῆς Θεοτόκου, ἀγαλλιᾶσθε πάντες οἱ ἐν Ἄθῳ πατέρες, καὶ δεῦτε πανηγυρίσωμεν, Φιλοθέου τοῦ κοινοῦ ποιμένος, καὶ οἰκουμενικοῦ φωστῆρος τὴν σεβάσμιον πανήγυριν· οὗτος γὰρ ὁ τοῦ Χριστοῦ μιμητής, ἀρετῶν χάρισιν ὡραϊζόμενος, ἔλαμψεν ἡλίου δίκην, καὶ ὡς ὑψηλὸς τῆς Ἐκκλησίας στύλος δείκνυται, τὰς βουλὰς τῶν κακοδόξων αἱρετικῶν διασκεδάσας· καὶ νῦν ἐν οὐρανοῖς αὐλιζόμενος, πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων ἐκ πόθου, τὴν παγγέραστον μνήμην αὐτοῦ, δωρηθῆναι παρὰ τοῦ Φιλανθρώπου καὶ Σωτῆρος τῶν ὅλων, ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Μακαρίζομέν σε.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

<Τὰ Τυπικά>, οἱ Μακαρισμοὶ, <καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ′ καὶ στ′ ᾠδή.>

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους <ιγ′, 17-22>.

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν.

<Ζήτει τοῦτον τῇ 6η Δεκεμβρίου.>

Εὐαγγέλιον. Κατά Ματθαῖον[1] <ε′,14-19.>

Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.

<Ζήτει τοῦτο τῇ 30ῇ Ἰανουαρίου.>

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Καὶ τὰ λοιπά.

Μεγαλυνάριον.

Τὸ τοῦ Ἄθω ὄρους κλέος λαμπρόν, καὶ τῆς Ἐκκλησίας, τὴν κρηπῖδα καὶ ὀφθαλμὸν, καὶ τῶν ὀρθοδόξων ταχὺν ὄντως σωτῆρα, Φιλόθεον τὸν θεῖον ἀνευφημήσωμεν.

[1] Cod. Λουκᾶν.